**ἐπιχοριαμβικὸν πινδαρικόν**

⏑ – – ⏑ – ⏑ ⏑ – ⏑ – ⏓

**1.** Hephaest. 43. 9 sqq. τῆς δὲ κατ᾽ ἀντιπάθειαν μίξεως νῦν τὰ πυκνότατα παραθησόμεθα. ἐπιχοριαμβικὸν μὲν οὖν τὸ σαπφικὸν καλούμενον ἑνδεκασύλλαβον, οἷον· (Sapph. 1. 1 Voigt)

ποικιλόθρον᾽ ἀθανάτ᾽ Ἀφρόδιτα·

… (44. 12 sqq.) τοῦτο μὲν οὖν ἀπὸ τροχαικῆς ἐστὶν ἐπιχοριαμβικόν, ἀπὸ δὲ ἀντισπαστικῆς τὸ καλούμενον πινδαρικὸν ἑνδεκασύλλαβον.

Epit. hephaest. 362. 12 sqq. δέχεται τὸ πινδαρικὸν ἐπιχοριαμβικὸν κατὰ τὴν πρώτην χώραν ἀντίσπαστον, κατὰ τὴν δευτέραν χορίαμβον, κατὰ τὴν τρίτην ἴαμβον καὶ συλλαβὴν ἀδιάφορον, ὡς εἶναι τὸ ὅλον ἑνδεκασύλλαβον, οἷον· (Pind. fr. 94c. 1 Snell-Maehler)

ὁ μουσαγέτας με καλεῖ χορεῦσαι.

Tzetz. *de metr. Pind.* 83. 18

τοῦτ᾽ ἐπιχοριαμβικὸν πινδαρικὸν καλεῖται.
… (82. 26 sqq.)
ἀλλ᾽ ἄγε τὴν διαφορὰν καὶ δὴ τὴν κοινωνίαν
*** ἣν τὸ σαπφικὸν πρὸς τὸ Πινδάρου ἔχει.
ἄμφω ἑνδεκασύλλαβα καὶ καταληκτικά τε·
ἀλλάγε ἀντισπαστικὴν πρώτην τὸ τοῦ Πινδάρου
κρηπῖδα ὥσπερ κέκτηται, χορίαμβον δευτέραν,
καὶ τρίτην τὴν κατάκλειδα ἴαμβον συλλαβήν τε.
… (83. 11 sqq.)
εἰ εὕροις ἀντισπαστικὴν τὴν πρώτην, ἔχε τοῦτο
πινδαρικὸν ὡς εἴπομεν·
… (83. 16 sqq.)
ἔστι γὰρ τὸ πινδαρικὸν οὕτως ἔχον πρὸς ῥῆμα.
ἀντίσπαστος χορίαμβος, ἴαμβος καὶ συλλαβή
ὁ μουσαγέτας με καλεῖ. χορεῦσαι. ὅρα τοῦτο.

Anon. Vat. 58. 4 sqq. Tessier τὸ γὰρ πινδαρικὸν (*scil.* ἐπιχοριαμβικόν) ἀντίσπαστον ἔχει τὸν πρῶτον ὡς τό· (Pind. fr. 94c. 1 Snell-Maehler)

⏑ – – ⏑. – ⏑ ⏑ –. ⏑ –. ⏓
ὁ μουσαγέτας με καλεῖ χορεῦσαι·

τρίμετρον καταληκτικὸν.

Anon. Vat. 58. 8 sqq. Tessier (Pind. fr. 94c. 1 Snell-Maehler)

⏑ – – ⏑. – ⏑ ⏑ –. ⏑ –. ⏓
ὁ μουσαγέτας με καλεῖ χορεῦσαι·

ἐπιχοριαμβικὸν· τὸ καλούμενον πινδαρικὸν ἑνδεκασύλλαβον· ὅπερ τὸ μὲν α′ ἀντίσπαστον ἔχει· εἶτα χορίαμβον· εἶτα ἰαμβικὴν κατακλεῖδα· ὅμοιον (*scil.* τρίμετρον καταληκτικόν).

– ⏑ – ⏒ – ⏑ ⏑ – – ⏔ –

**2.** Tzetz. *de metr. Pind.* 82. 13 sqq.

τέταρτον ἰαμβέλεγος πλὴν δ᾽ οὐκ ὁλόκληρός τις,

μιᾶς λειπούσης συλλαβῆς ἐν πρώτοις τῶν ἰάμβων.
λείπουσα συλλαβή ἰαμβικά δακτυλικά
– ⏑ – – – ⏑ ⏑ – – ⏑ ⏑ –
τοῦτο καὶ ἄλλως λέγεται καὶ ἄλλως τε μετρεῖται
χρόνων τῶν ἐν ταῖς συλλαβαῖς πάλιν φυλασσομένων·
τοῦτ᾽ ἐπιχοριαμβικὸν πινδαρικὸν καλεῖται.
εὕρηται γὰρ τῷ λυρικῷ τοῦτο καινὸν εἰς μέλος.
ἀλλὰ καλέσω σαπφικὸν, πινδαρικὸν οὐδόλως·
Σαπφοῦς γὰρ τὸ μελῴδημα ἐστὶ τῆς ποιητρίας,
μᾶλλον δ᾽ Ἀλκαῖος κέχρηται τούτῳ τῷ μέλει πάλιν,
καὶ ἄδηλον τὸ εὕρημα ὁποτέρου ὑπάρχει,
εἰ λέγεται καὶ σαπφικὸν, φησὶν ὁ ῥυθμογράφος.

Anon. Vat. 71. 18 sqq. Tessier (Pind. *Ol.* 8. 3)

– ⏑. – –: – ⏑ ⏑ –. ⏓⏓. –.
–. ⏑ –. –: – ⏑ ⏑. – ⏑ ⏑. –.
ἐμπύροις τεκμαιρόμενοι παραπει˙

ἰαμβέλεγος˙ λειπούσης τῆς α′ συλλαβῆς˙ ἢ ἐπιχοριαμβικὸν πινδαρικὸν˙ μᾶλλον δὲ σαπφικὸν˙ καταληκτικὸν.

Schol. vet. in Pind. *Ol.* 8 (p. 7. 17 sq. Tessier) τὸ δ′ ἐπιχοριαμβικὸν πινδαρικὸν ἢ ἰαμβέλεγος <παρὰ τὴν α′ συλλαβήν>. [*L.S.*]